(Θερ.) αἴ.
(A.) τί ἐcτί;
(Θερ.) χλαμύδοc ἥμιcυ
διεcπαραγμένηc, παλαιᾶc, ὑπὸ cέων
cχεδόν τι καταβεβρωμένηc.
(A.) ἀλλ' οὐδὲ ἕν;
(Θερ.) καὶ περιδέραια καὶ περιcκελὶc μία.
(A.) ἐμοὶ προcένεγκε τὸν λύχνον τε φ[αῖν'] ἅμα.
οὐκ εἶδεc ἐπιγεγραμμέν' α[ὐτοῦ ζῴι]δια;
ὠή· ἄνοιγ' ἄνωθεν.
(Θερ.) γρά[μματ' ἐcτὶν ὦ τ]άλαν
τάδε,] γράμματ' εἶδον.
(A.) τί [. . . . . .] βούλεται;
] ἔνεcτ' ἐν αὐτῶι παιδίου
γνωρίcμαθ', ἡ μήτηρ δ' ἐτήρει ταῦτα· θὲc
πάλιν ὡc ἔκειτο, cημανοῦμαι δ' αὔτ' ἐγώ.
οὐ νῦν ἐπιτηδείωc ἔχει, μὰ τὸν Δία,
ζητεῖν ἄφαντ'· [οὐχ] ἡμέτερον. τὴν ἐμποδὼν
ταραχὴν ἱκανῶc θεῖμέν [ποτ'.] ἂν ἐντόc ποτε
γένωμ' ἐμαυτοῦ κ̣[ οἴ]ξω πάλιν
. . . .]ητεc̣.[ ο]ὐδὲ ἕν

## PAP. DIDOT I

ὦ πάτερ, ἐχρῆν μὲν οὓc ἐγὼ λόγουc λέγω
τούτουc λέγειν cέ· καὶ γὰρ ἁρμόττει φρονεῖν
cὲ μᾶλλον ἢ 'μὲ καὶ λέγειν ὅπου τι δεῖ.
ἐπεὶ δ' ἀφεῖκαc, λοιπόν ἐcτ' ἴcωc ἐμὲ
ἐκ τῆc ἀνάγκηc τά γε δίκαι' αὐτὴν λέγειν.
ἐκεῖνοc εἰ μὲν μεῖζον ἠδίκηκέ τι,
οὐκ ἐμὲ προcήκει λαμβάνειν τούτων δίκην·